χρείαν ὑπακούσαντα ἐκπέμπεσθαι. καὶ τόπον εἰς τὴν παρεμβολὴν ἀφώρισεν αὐτῷ. ἐπιφανέντες δὲ οἱ περὶ τὸν Ὀδυσσέα καὶ Δόλωνα μὲν ἀνῃρηκότες, ἐπὶ δὲ τὴν Ἕκτορος κοίτην ἐλθόντες πάλιν ὑπέστρεφον οὐχ εὑρόντες τὸν στρατηγόν. οὓς Ἀθηνᾶ ἐπιφανεῖσα κατέσχεν. καὶ τὸν μὲν Ἕκτορα ἐκέλευσε μὴ ζητεῖν, Ῥῆσον δὲ ἀναιρεῖν ἐκέλευσε. τὸν γὰρ ἐκ τούτου κίνδυνον μείζονα ἔσεσθαι, ἐὰν βιώσῃ· τούτων δὲ ἐπιφανεὶς Ἀλέξανδρος . . . . . . . . . . . . . ἐξαπατηθεὶς δὲ ὑπὸ Ἀθηνᾶς, ὡς δῆθεν ὑπὸ Ἀφροδίτης ἄπρακτος ὑπέστρεφεν· οἱ δὲ περὶ Διομήδην φονεύσαντες Ῥῆσον ἐχαρίσθησαν. καὶ ἡ συμφορὰ τῶν ἀνῃρημένων καθ' ὅλον ἦλθε τὸ στράτευμα.